**αἰολικὸν ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον ἀκατάληκτον**

Hephaest. 35. 22 sqq. τὰ δὲ τρίμετρα (*scil.* ἰωνικὰ ἀπὸ μείζονος) ἀκατάληκτα διχῶς συνέθεσαν οἱ Αἰολεῖς· τὰ μὲν γὰρ ἐκ δύο ἰωνικῶν καὶ τροχαϊκῆς ἐποίησαν, οἷον· (inc. auct. 16. 1 Voigt)

Κρῆσσαι νύ ποθ᾽ ὧδ᾽ ἐμμελέως πόδεσσιν
ὠρχεῦντ᾽ ἀπαλοῖσ᾽ ἀμφ᾽ ἐρόεντα βωμόν·

ἔνια δὲ ἐκ μιᾶς ἰωνικῆς καὶ δύο τροχαϊκῶν, οἷον (inc. auct. 22 Voigt)

τριβώλετερ· οὐ γὰρ Ἀρκάδεσσι λώβα.

Hephaest. 36. 19 sqq. παρατηρεῖν δὲ χρή, ὅτι τὴν πρώτην συζυγίαν καὶ ἀπὸ βραχείας ἀρχομένην ποιοῦσιν (*scil.* οἱ Αἰολεῖς), ὥσπερ καὶ ἐν τοῖς τριμέτροις (*scil.* ἰωνικοῖς ἀπὸ μείζονος)· (inc. auct. 16. 3 Voigt)

πόας τέρεν ἄνθος μαλακὸν μάτεισαι·

ἐνίοτε δὲ ἐναλλὰξ τὰς ἰωνικὰς ταῖς τροχαϊκαῖς παραλαμβάνουσιν, ἀντὶ μὲν τῶν ἰωνικῶν ἔσθ᾽ ὅτε τὰς δευτέρας παιωνικὰς παραλαμβάνοντες, ἀντὶ δὲ τῶν ἑξασήμων τροχαϊκῶν ἔσθ᾽ ὅτε τὰς ἑπτασήμους τροχαϊκάς, οἷον· (Sapph. 168b Voigt)

δέδυκε μὲν ἁ σελάννα καὶ Πληιάδες· μέσαι δὲ
νύκτες, παρὰ δ᾽ ἔρχεθ᾽ ὥρα· ἐγὼ δὲ μόνα καθεύδω.

Trich. 392. 29 sqq. τὰ τοιαῦτα τρίμετρα (*scil.* ἰωνικὰ ἀπὸ μείζονος) διχῶς συντιθέασιν οἱ Αἰολεῖς, τοῖς τροχαϊκοῖς συμπλέκοντες ποσί. πῶς δέ, εἴρηται ἡμῖν ἰδίᾳ, ἔνθα καὶ περὶ τοῦ διμέτρου ἀπ᾽ ἐλάσσονος ἰωνικοῦ διειλήφαμεν, ὡς καὶ ἄνωθεν ἔφαμεν. [*P.S.*]